www.tezaurliturgic.ro

*Τὸ Συναξάριον*

**Τῇ κδ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ ἐν Ρακότιντσι, κοιμηθέντος ἐν Κυρίῳ τὸ ἔτος 1940.**

*Στίχοι.*

*Ἰωαννικίῳ ὁμόκλητος, Πάτερ,*
*Συνόμιλος καὶ ἐν θαύμασιν εἶ*
*τούτῳ.*
*Πέμπτῃ τε εἰκοστῇ Ἰωαννίκιος ἔνθεν ἤρθη.*

Οὗτος ὁ νεοφανεὶς ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἰωαννίκιος, ὡς ὁ κατὰ πλάτος συντεθεὶς βίος αὐτοῦ μαρτυρεῖ, γόνος μὲν τὸ φθαρτὸν γένος ὑπάρχει τῆς περιωνύμου πόλεως Ἀχρίδος, πολίτης δὲ τῆς οὐρανίου καὶ ἀσείστου Πόλεως τῶν Ἁγίων, τῆς μυστικῆς Σιών. Ἐν χρόνοις δυσχειμέροις ζήσας, ὅμως τῷ τὴν ἱερὰν ψυχὴν αὐτοῦ κατεφλεγόμενος θείῳ ἔρωτι, ἰσοστάσιος ἐδείχθη τῶν ἀρχαίων Πατέρων καὶ ἀσκητῶν, συνωνυμήσας τῷ μεγάλῳ πατρὶ Ἰωαννικίῳ, καὶ μέγας εὐχέτης καὶ προστάτης ἐδείχθη τῶν ἐν πικρᾷ δουλείᾳ τῶν ἀγαρηνῶν διατελούντων ἀδελφῶν ἡμῶν. Πλουτισθεὶς δὲ πρὸς τοῖς ἄλλοις χαρίσμασι καὶ διὰ τῆς θαυματουργίας, ἄλλος τις καλὸς Σαμαρείτης ἐδείχθη τοῖς μετὰ πίστεως αὐτῷ προσερχομένοις, χριστιανοῖς τε καὶ ἀλλοπίστοις. Πλεῖστα δ' ὅσα θαυμαστὰ ποιήσας, τὴν ἀλήθειαν ἐπεσφράγισεν, ὅτι οὐκ ὁ χρόνος καὶ αἱ περιστάσεις τοὺς Ἁγίους ἀναδεικνύουσιν, ἀλλ' ἡ γνησιότης τῆς πρὸς Θεὸν τελείας καὶ ἀνυποκρίτου ἀγάπης. Εἰς βαθὺ γῆρας, ὅθεν φθάσας ὁ τρισόλβιος, τὸν τῶν δικαίων ὕπνον ἐκοιμήθη, πολλὰ θαυμάσια ἐπιτελῶν ἐκ τῶν ἱερῶν λειψάνων, τοῦ ἐπὶ χρόνους πολλοὺς ἀφθάρτου διαμείναντος καὶ εἶτα, κρίμασιν οἷς οἶδε Κύριος, διαλυθέντος πανσέπτου αὐτοῦ σκήνους, εὐωδίαν πνευματικὴν ἀποπνεόντων καὶ φανερούντων τὴν ἣν πρὸς Κύριον ἔσχηκε πολλὴν παῤῥησίαν.